ΠΡΟΣ ΠΕΤΡΟΝ ΙΛΛΟΥΣΤΡΙΟΝ ΕΠΙΣΤΟΛΗ ΔΟΓΜΑΤΙΚΗ

Migne *Patrologia Graeca* 91

…

Ὑπομιμνήσκω δέ τούς θεοφυλάκτους ὑμᾶς γρηγορεῖν, καί προσεύχεσθαι κατά τήν τοῦ Κυρίου διαταγήν, ἵνα μή ταῖς παγίσι τῶν πανταχόθεν ἡμᾶς περιεστηκότων ἁλῶμεν πειρασμῶν. Ἐάν γάρ γρηγορῶμεν καί νήφωμεν, τούς τῶν διαμόνων οἶδ᾽ ὅτι φυλαττόμεθα δόλους· καί ἐάν προσευχώμεθα, πρός τήν ἡμετέραν βοήθειαν τήν θείαν ἐπισπώμεθα χάριν, συμμαχοῦσαν ἡμῖν, καί πάσης ἡμᾶς ἀποφαίνουσαν νικητάς ἀντικειμένης δυνάμεως, καί ῥυομένην ἡμᾶς πάσης πλάνης καί ἀγνωσίας· καί μάλιστα νῦν τοῦτο πράττειν ὀφείλομεν· ὅτι καί δίχα τῆς ἐντολῆς, γίνεται τῆς ἐπί τόν Θεόν καταφυγῆς διδάσκαλος ἡ φύσις, λαμβάνουσα σύμβουλον τήν περίστασιν. Τί γάρ τῶν νῦν περιεχόντων τήν οἰκουμένην κακῶν περιστατικώτερον; τί δέ τοῖς ᾐσθημένοις τῶν γινομένων δεινότερον; τί δέ τοῖς πάσχουσιν ἐλεινότερον ἤ φοβερώτερον; Ἔθνος ὁρᾷν ἐρημικόν τε καί βάρβαρον, ὡς ἰδίαν γῆν διατρέχον τήν ἀλλοτρίαν· καί θηρσίν ἀγρίοις καί ἀτιθάσσοις, μόνης ἀνθρώπων ἔχουσι ψιλόν σχῆμα μορφῆς, τήν ἥμερον πολιτείαν δαπανωμένην· καί λαόν Ἰουδαϊκόν, καί ἀνέκαθεν ἄνθρώπων αἵμασι χαίροντα, καί μόνην θείαν εὐαρέστησιν είδότα τόν φόνον τοῦ πλάσματος· καί διά τοῦτο πλέον μαινόμενον, πάντων τῶν ἐπί κακίᾳ διαβεβοημένων ἐν τῷ πλούτῳ τῆς πονηρίας γενέσθαι περιφανέστερον · καί οἷς Θεός ἀπεχθάνεται, Θεόν θεραπεύειν οἰόμενον· τόν μόνον πάντων τῶν ἐπί γῆς λαῶν ἀπιστότατον· καί διά τοῦτο πρός ὑποδοχήν τῆς ἀντικειμένης δυνάμεως ἐπιτηδειότατον· προπομπεύοντα, τρόπῳ τε παντί καί διαθέσει τῆς ἐνδημίας τοῦ πονηροῦ· καί δι᾽ ὧν πράττει μηνύοντα τοῦ Ἀντιχρίστου τήν παρουσίαν, ἐπειδή τήν τοῦ ἀληθῶς Σωτῆρος ἠγνόησεν.